**SS 2024 Griech. Lektüre-Übung: Menander, *Dyskolos* TEXT 13 (Karanasiou)**

https://www.greek-language.gr/digitalResources/ancient_greek/library/browse.html?text_id=137&page=23

V. 702-726

ἄνθρωπε. **(ΚΝ.)** τί παρέστηκας ἐνταῦθ᾽, ἄθλι[ε;
(desunt uersus v)
. . . . . . . . . . . . . . . . . . . . . . . .]εσοις ἐβουλόμην
. . . . . . . . . . . . . . . . . .Μυρ]ρίνη καὶ Γοργία,
ε.[. . . . . . . . . . . . . . . . . . . . . . .]ον προειλόμην
οὐκ ἴσως [. . . .]ι κ[.]ι̣[.]ν οὐδ᾽ ἂν εἷς δύναιτό με
τοῦτο μεταπεῖσαί τις ὑμῶν, ἀλλὰ συγχωρήσετε.
ἓν δ᾽ ἴσως ἥμαρτον ὅστις τῶν ἁπάντων ᾠόμην
αὐτὸς αὐτάρκης τις εἶναι καὶ δεήσεσθ᾽ οὐδενός.
νῦν δ᾽ ἰδὼν ὀξεῖαν οὖσαν ἄσκοπόν τε τοῦ βίου
τὴν τελευτήν, εὗρον οὐκ εὖ τοῦτο γινώσκων τότε.
δεῖ γὰρ εἶναι —καὶ παρεῖναι— τὸν ἐπικουρήσοντ᾽ ἀεί.
ἀλλὰ μὰ τὸν Ἥφαιστον —οὕτω σφόδρα ‹δι›εφθάρμην ἐγὼ
τοὺς βίους ὁρῶν ἑκάστους τοὺς λογισμούς ‹θ᾽› ὃν τρόπον
πρὸς τὸ κερδαίνειν ἔχουσιν— οὐδέν᾽ εὔνουν ᾤόμην
ἕτερον ἑτέρῳ τῶν ἁπάντων ἂν γενέσθαι. τοῦτο δὴ
ἐμποδὼν ἦν μοι. μόλις δὲ πεῖραν εἷς δέδωκε νῦν
Γοργίας, ἔργον ποήσας ἀνδρὸς εὐγενεστάτου·
τὸν γὰρ οὐκ ἐῶντά ‹τ᾽ α›ὐτὸν προσιέναι ‹καὶ› τῇ θύρᾳ
οὐ βοηθήσαντά ‹τ᾽ α›ὐτῷ πώποτ᾽ εἰς οὐδὲν μέρος,